## 4

1. Λοιπὴ δ' ἐστὶ τῆς Ἰβηρίας ἥ τε ἀπὸ τῶν Στηλῶν μέχρι τῆς Πυρήνης καθ' ἡμᾶς παραλία καὶ ἡ ταύτης ὑπερκειμένη μεσόγαια πᾶσα τὸ μὲν πλάτος ἀνώμαλος, τὸ δὲ μῆκος μικρῷ πλειόνων ἢ τετρακισχιλίων σταδίων· τὸ δὲ τῆς παραλίας ἐπὶ πλεῖον καὶ δισχιλίοις σταδίοις εἴρηται. Φασὶ δὲ ἀπὸ μὲν Κάλπης, τοῦ κατὰ Στήλας ὄρους, ἐπὶ Καρχηδόνα Νέαν δισχιλίους καὶ διακοσίους σταδίους· οἰκεῖσθαι δὲ τὴν ἠιόνα ταύτην ὑπὸ Βαστητανῶν, οὓς καὶ Βαστούλους καλοῦσιν, ἐκ μέρους δὲ καὶ ὑπὸ Ὠρητανῶν. Ἐντεῦθεν δ' ἐπὶ τὸν Ἴβηρα ἄλλους τοσούτους σχεδόν τι· ταύτην δ' ἔχειν Ἐδητανούς. Ἐντὸς δὲ τοῦ Ἴβηρος μέχρι Πυρήνης καὶ τῶν Πομπηίου ἀναθημάτων χιλίους καὶ ἑξακοσίους· οἰκεῖν δὲ Ἐδητανῶν τε ὀλίγους καὶ λοιπῶν τοὺς προσαγορευομένους Ἰνδικήτας, μεμερισμένους τέτραχα.

2. Κατὰ μέρος δὲ ἀπὸ Κάλπης ἀρξαμένοις ῥάχις ἐστὶν ὀρεινὴ τῆς Βαστητανίας καὶ τῶν Ὠρητανῶν, δασεῖαν ὕλην

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416014771/49 UNIVERSITÄT LEIPZIG